## APOLLODORE d'Athènes, *La Bibliothèque*, livre I

| | |
|---|---|
| ἀγανακτοῦσα δὲ Γῆ | |
| ἐπὶ τῇ ἀπωλείᾳ τῶν παίδων | |
| τῶν εἰς Τάρταρον ῥιφέντων | |
| πείθει τοὺς Τιτᾶνας ἐπιθέσθαι τῷ πατρί, | |
| καὶ δίδωσιν ἀδαμαντίνην ἅρπην Κρόνῳ. | |
| οἱ δὲ Ὠκεανοῦ χωρὶς ἐπιτίθενται, | |
| καὶ Κρόνος ἀποτεμὼν τὰ αἰδοῖα τοῦ πατρὸς | |
| εἰς τὴν θάλασσαν ἀφίησεν. | |
| ἐκ δὲ τῶν σταλαγμῶν τοῦ ῥέοντος αἵματος | |
| ἐγένοντο, | |
| ἐρινύες Ἀληκτὼ Τισιφόνη Μέγαιρα. | |
| τῆς δὲ ἀρχῆς ἐκβαλόντες | |
| τούς τε καταταρταρωθέντας ἀνήγαγον ἀδελφοὺς | |
| καὶ τὴν ἀρχὴν Κρόνῳ παρέδοσαν. | |
| ὁ δὲ τούτους μὲν ἐν τῷ Ταρτάρῳ πάλιν δήσας | |
| καθεῖρξε, | |
| τὴν δὲ ἀδελφὴν ῾Ρέαν γήμας, | |
| ἐπειδὴ Γῆ τε καὶ Οὐρανὸς λέγοντες | |
| ἐθεσπιῴδουν αὐτῷ ὑπὸ παιδὸς ἰδίου τὴν ἀρχὴν ἀφαιρεθήσεσθαι, | |
| κατέπινε τὰ γεννώμενα. | |
| καὶ πρώτην μὲν γεννηθεῖσαν Ἑστίαν κατέπιεν, | |
| εἶτα Δήμητραν καὶ Ἥραν, | |
| μεθ᾽ ἃς Πλούτωνα καὶ Ποσειδῶνα. | |
| ὀργισθεῖσα δὲ ἐπὶ τούτοις ῾Ρέα | |
| παραγίνεται μὲν εἰς Κρήτην, | |
| ὁπηνίκα τὸν Δία ἐγκυμονοῦσα | |
| ἐτύγχανε, γεννᾷ δὲ ἐν ἄντρῳ τῆς Δίκτης Δία. | |
| καὶ τοῦτον μὲν δίδωσι τρέφεσθαι | |
| Κούρησί τε | |
| καὶ ταῖς Μελισσέως παισὶ νύμφαις, Ἀδραστείᾳ τε καὶ Ἴδῃ. | |
| αὗται μὲν οὖν τὸν παῖδα ἔτρεφον | |
| τῷ τῆς Ἀμαλθείας γάλακτι, | |
| οἱ δὲ Κούρητες ἔνοπλοι ἐν τῷ ἄντρῳ τὸ βρέφος | |
| φυλάσσοντες τοῖς δόρασι τὰς ἀσπίδας συνέκρουον, | |
| ἵνα μὴ ὁ Κρόνος ἀκούσῃ | |
| τῆς τοῦ παιδὸς φωνῆς. | |
| ῾Ρέα δὲ δέδωκε Κρόνῳ | |
| λίθον σπαργανώσασα καταπιεῖν | |
| ὡς τὸν γεγεννημένον παῖδα. | |

**APOLLODORE d'Athènes, La Bibliothèque, livre I** Traduction d'Étienne Clavier, 1805

ἀγανακτοῦσα δὲ Γῆ ἐπὶ τῇ ἀπωλείᾳ τῶν εἰς Τάρταρον ῥιφέντων παίδων πείθει τοὺς Τιτᾶνας ἐπιθέσθαι τῷ πατρί, καὶ δίδωσιν ἀδαμαντίνην ἅρπην Κρόνῳ. οἱ δὲ Ὠκεανοῦ χωρὶς ἐπιτίθενται, καὶ Κρόνος ἀποτεμὼν τὰ αἰδοῖα τοῦ πατρὸς εἰς τὴν θάλασσαν ἀφίησεν. ἐκ δὲ τῶν σταλαγμῶν τοῦ ῥέοντος αἵματος ἐρινύες ἐγένοντο, Ἀληκτὼ Τισιφόνη Μέγαιρα. τῆς δὲ ἀρχῆς ἐκβαλόντες τούς τε καταταρταρωθέντας ἀνήγαγον ἀδελφοὺς καὶ τὴν ἀρχὴν Κρόνῳ παρέδοσαν. ὁ δὲ τούτους μὲν ἐν τῷ Ταρτάρῳ πάλιν δήσας καθεῖρξε, τὴν δὲ ἀδελφὴν Ῥέαν γήμας, ἐπειδὴ Γῆ τε καὶ Οὐρανὸς ἐθεσπιῴδουν αὐτῷ λέγοντες ὑπὸ παιδὸς ἰδίου τὴν ἀρχὴν ἀφαιρεθήσεσθαι, κατέπινε τὰ γεννώμενα. καὶ πρώτην μὲν γεννηθεῖσαν Ἑστίαν κατέπιεν, εἶτα Δήμητραν καὶ Ἥραν, μεθ᾽ ἃς Πλούτωνα καὶ Ποσειδῶνα. ὀργισθεῖσα δὲ ἐπὶ τούτοις Ῥέα παραγίνεται μὲν εἰς Κρήτην, ὁπηνίκα τὸν Δία ἐγκυμονοῦσα ἐτύγχανε, γεννᾷ δὲ ἐν ἄντρῳ τῆς Δίκτης Δία. καὶ τοῦτον μὲν δίδωσι τρέφεσθαι Κούρησί τε καὶ ταῖς Μελισσέως παισὶ νύμφαις, Ἀδραστείᾳ τε καὶ Ἴδῃ. αὗται μὲν οὖν τὸν παῖδα ἔτρεφον τῷ τῆς Ἀμαλθείας γάλακτι, οἱ δὲ Κούρητες ἔνοπλοι ἐν τῷ ἄντρῳ τὸ βρέφος φυλάσσοντες τοῖς δόρασι τὰς ἀσπίδας συνέκρουον, ἵνα μὴ τῆς τοῦ παιδὸς φωνῆς ὁ Κρόνος ἀκούσῃ. Ῥέα δὲ λίθον σπαργανώσασα δέδωκε Κρόνῳ καταπιεῖν ὡς τὸν γεγεννημένον παῖδα.

La terre, irritée de la perte de ceux de ses enfans qu'Uranus avait précipités dans le Tartare, engagea les Titans à se révolter contre lui, et elle arma à cet effet Saturne d'une faux de diamant. Les Titans, à l'exception de l'Océan, s'étant donc soulevés contre leur père, Saturne lui coupa les parties génitales et les jeta dans la mer. Des gouttes de sang qui en tombèrent, naquirent les trois furies, Alecto, Tisiphone et Mégère. Ils le chassèrent ensuite du trône, qu'ils donnèrent à Saturne, et rappelèrent leurs frères qui étoient dans le Tartare. Saturne les ayant enchaînés, les y précipita de nouveau ; il épousa ensuite Rhéa, sa sœur ; mais comme Uranus et la Terre lui prédirent qu'il seroit détrôné par un de ses enfans, il les avaloit à mesure qu'ils venoient au monde ; il fit disparoître ainsi Vesta, Cérès, Junon, et ensuite Pluton et Neptune. Rhéa, indignée de sa barbarie, se retira dans l'île de Crête, lorsqu'elle fut enceinte de Jupiter, et en accoucha dans l'antre de Dictée. Elle le donna à élever aux Curètes et aux nymphes Adraste et Ida, filles de Melissus. Elles le nourrissoient du lait de la chèvre Amalthée, tandis que les Curètes gardoient l'antre en frappant de leurs lances sur leurs boucliers, pour empêcher que ses cris ne parvinssent à Saturne, à qui Rhéa présenta à avaler une pierre emmaillottée au lieu de son enfant.

**Activités sur le texte :**

1) « Petit grec » : Faites correspondre les passages de traduction française aux éléments du texte placés dans le tableau.
2) Déduisez-en le sens des mots de la liste ci-dessous.
3) Repérez les noms féminins du texte et proposez-en une analyse grammaticale.
4) Repérez les différentes formes que prend le verbe « γιγνομαι » et « διδωμι ».
5) Expliquez le rôle de « τούτους », « αὗται », « αὐτῷ », « τοῦτον ».
6) Etymologie : Quels mots français sont dérivés des mots ci-dessous?

**Vocabulaire** :

γῆ, -ῆς (ἡ) : ..............................
ἐπί : ............................................
εἰς : ............................................
παῖς, παιδός (ὁ) : ................................
πείθω : ....................................................
πατήρ, πατρός (ὁ) : ...............................................
δίδωμι : ..........................................
ἡ θάλασσα, ας : ...........................................
ῥέω : ..............................................
τὸ αἷμα, ατος : ...............................
γίγνομαι : ............................................
ἀρχή, -ῆς (ἡ) : ..........................................
ἐκβάλλομαι : ..........................................
ὁ ἀδελφός, ου : ...........................................
ἐν : ............................................
πάλιν : ...............................................
γαμέω : ...................................................
ἐπειδή : .................................................
λέγω : ....................................................
ὑπό : ......................................................
εἶτα : ....................................................
ὀργίζομαι : .............................................
ὁ ἄντρος, ου : ...........................................
τρέφω : .......................................................
ἡ νύμφη, ης : ..............................................
γάλακτι
φυλάσσω (-αττω) : ................................................
ἡ φωνή, ῆς : ..........................................................
ἀκούω : ........................................................
ὁ λίθος, ου : ...................................................